27/07/2025

Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής Ζ΄ Ματθαίου

/ Ορθόδοξες Προβολές

Το Ευαγγελικό Ανάγνωσμα της Κυριακής Ζ΄ Ματθαίου: Ματθ. θ΄ 27-35 (27-07-2025)

Τῷ καιρῷ ἐκείνῳ, παράγοντι τῷ Ἰησοῦ ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ κράζοντες καὶ λέγοντες· Ἐλέησον ἡμᾶς, υἱὲ Δαυΐδ. ἐλθόντι δὲ εἰς τὴν οἰκίαν προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; λέγουσιν αὐτῷ· Ναί, Κύριε. τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν λέγων· Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί· καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς λέγων· Ὁρᾶτε μηδεὶς γινωσκέτω. οἱ δὲ ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ.

Αὐτῶν δὲ ἐξερχομένων ἰδοὺ προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον· καὶ ἐκβληθέντος τοῦ δαιμονίου ἐλάλησεν ὁ κωφός. καὶ ἐθαύμασαν οἱ ὄχλοι λέγοντες, Οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. οἱ δὲ Φαρισαῖοι ἔλεγον· Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ

εὐαγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

Απόδοση σε νεοελληνική το Ευαγγέλιο Κυριακής Ζ΄ Ματθαίου

Εκεῖνο τόν καιρό, καθώς προχωροῦσε ὁ Ἰησοῦς, τον ηκολούθησαν δύο τυφλοί, οι οποίοι έκραζαν και έλεγαν· “σπλαγχνίσου μας, υιέ Δαυΐδ, και δος μας το φως των οφθαλμών μας”. Οταν δε έφθασε στο σπίτι, τον επλησίασαν οι τυφλοί και είπε προς αυτούς ο Ιησούς· “πιστεύετε πράγματι, ότι ημπορώ εγώ να κάμω αυτό, που ζητείτε;” Λεγουν προς αυτόν· “ναι, Κυριε”. Τοτε ήγγισε τα μάτια των, λέγων· “σύμφωνα με την πίστιν σας ας γίνη αυτό προς χάριν σας”. Και αμέσως άνοιξαν οι οφθαλμοί των. Ο δε Ιησούς συνέστησεν εις αυτούς με αυστηρότητα και είπε· “προσέχετε, κανείς να μη μάθη το θαύμα”. Αλλά εκείνοι εξελθόντες διέδωσαν το θαύμα και την φήμη του Ιησού εις όλην εκείνην την χώραν. Ενώ δε αυτοί εξήρχοντο, ιδού έφεραν στον Ιησούν ένα άνθρωπον δαιμονιζόμενον κωφάλαλον.

Και όταν εξεδιώχθη το δαιμόνιον, αμέσως ωμίλησεν ο κωφάλαλος και οι όχλοι που ήσαν εκεί εθαύμασαν και έλεγαν ότι ποτέ έως τώρα δεν εφάνησαν στον Ισραηλιτικόν λαόν τόσα πολλά και τόσα μεγάλα θαύματα. Οι μοχθηροί όμως και δόλιοι Φαρισαίοι έλεγαν· “αυτός διώχνει τα δαιμόνια με την δύναμιν του αργηγού των δαιμονίων”. Και περιώδευε ο Ιησούς όλας τας πόλεις και τα χωρία διδάσκων εις τας συναγωγάς αυτών και κηρύσσων το χαρμόσυνον άγγελμα της βασιλείας των ουρανών και θεραπεύων κάθε ασθένειαν και κάθε καχεξίαν μεταξύ του λαού.